Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Ek t?n sunodik?n diataxe?n tou ... S?froniou patriarchou Hierosolum?n ...

https://hdl.handle.net/1874/322587

Ἐκ τῆς συνοδικῆς διατάξεως· τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σωφρονίου πατριάρχου Ἱεροσολύμων· τῆς ἐπισταλείσης ἐν τῇ Ῥώμῃ:

Χρὴ τὸν ταχειστάμενον· ὁμολογεῖν καρδίᾳ καὶ στόματι· ὡς αἱ ἅγιαι οἰκουμενικαὶ δ΄ ἐκεῖναι σύνοδοι· λέγω δή, ἡ ἐν Νικαίᾳ· καὶ ἐν Κωνσταντινουπόλει τρεῖς· καὶ ἡ ἐν Ἐφέσῳ τὸ πρότερον· καὶ ἡ ἐν Χαλκηδόνι καθ᾽ ὑποτέτακται:

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα· ἄναρχον παντελῶς καὶ ἀΐδιον· ποιητὴν ὁρατῶν καὶ ἀοράτων ποιημάτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν· τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ· τὸν ἀϊδίως καὶ ἀπαθῶς, ἐξ αὐτοῦ γεννηθέντα τοῦ θεοῦ καὶ πατρός· ὡς οὐκ ἄλλην ἀρχήν, εἰ μὴ μόνον τὸν πατέρα γνωρίζοντα· φῶς ἐκ φωτός· θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ· ὁμοούσιον τῷ πατρὶ καὶ συναΐδιον· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον· τὸ ἀϊδίως ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἐκπορευόμενον· τὸ φῶς· καὶ θεὸν ἀληθινόν· καὶ αὐτὸ γνωριζόμενον· καὶ ἄναρχον τῷ πατρὶ καὶ υἱῷ συναΐδιον καὶ ὁμοούσιον· καὶ τῆς αὐτῆς φύσεως καὶ οὐσίας καὶ θεότητος· τριάδα ὁμοούσιον καὶ ὁμότιμον· θεὸν μονοδύναμον· καὶ ὁμόθρονον· ἐν τῇ μιᾷ συναπτομένην θεότητι· καὶ κυριότητι· μερίζομένην· καὶ συμφερομένων τῶν τριῶν προσώπων καὶ ὑποστάσεων· εἷς ἐν τρισὶ προσώποις· ὥστε, τὴν αὐτὴν εἶναι τοῦ

ὁμοῦ καὶ τὸ ... ζον· καθὼς ἐδογμάτισεν ὁ με-
λλιος ὁ παράνομος· τριάδα γὰρ ἐν μονάδι
πιστεύω· καὶ μονάδα ἐν τριάδι δοξάζω·
τριάδα μὲν ταῖς τρισὶν ὑποστάσεσι· μονάδα
δὲ, τῇ μιᾷ οὐσίᾳ καὶ θεότητι· ἐν φανερῷ θή-
σω· κἂν ἐν τριάδι προσώπων μερισμῶς
κῆται· καὶ ἐν μιᾷ κ... ὁμολογῶ· διότι καὶ μία
κυριότης ἐστί· κἂν ἐν τρισὶν ὑποστάσεσι δεί-
κνυται· καὶ οὔτε εἰς τρεῖς θεότητας· οὔτε
εἰς τρεῖς κυριότητας· ἡ μία κυριότης
καὶ μία θεότης ἐκφέρεται· ὥσπερ γὰρ ἕνα
θεὸν φρονεῖν ἐδιδάχθημεν, οὕτως καὶ μίαν θεό-
τητα, καθομολογεῖν, παρειλήφαμεν·
καὶ ὥσπερ ὑποστάσεις τρεῖς πρεσβεύειν
ἐμάθομεν, οὕτως καὶ προσώπων τριάδα δο-
ξολογεῖν ἐπαιδεύθημεν· οὐκ ἄλλον τὸν
θεὸν παρὰ τὴν τριάδα γινώσκομεν τῶν προσώπων·
οὔτε τὰ τρία τῆς τριάδος ὁμοούσια πρόσωπα·
ἢ περιττότερον, ὁ πατὴρ· καὶ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον·
ὥσπερ παρὰ τῶν ἐν ἀνθρώποις ἱστάμενοι ἀριθ-
μεῖται γοῦν ἡ παναγία τριάς, οὐκ οὐσίαις καὶ
φύσεσιν· ἢ διαφόροις θεότησιν· ἢ τρισὶ
κυριότησιν· ἄπαγε· ὥσπερ οἱ Ἀρειανοὶ μαίνον-
ται· ἀλλ' ὑποστάσεσι καὶ ἰδιότησιν· μονάσι
καὶ τελείαις· καθ' ἑαυτὰς ὑφισταμέναις· διοι-
κεῖται γὰρ ἡ παναγία τριὰς τοῖς προσώποις,
ἤγουν ταῖς ὑποστάσεσιν· ἀδιαίρετος δὲ μέ-
νει· καὶ ἄμικτος τῇ οὐσίᾳ· ἤγουν τῇ φύσει
καὶ τῇ θεότητι· καὶ διὰ τοῦτο οὔτε τρεῖς θεοὺς

τητας· οὔτε τρεῖς φύσεις· οὔτε τρεῖς οὐσίας·
οὔτε τρεῖς θεοὺς μείζονας· ἢ ἐλάσσονας,
ἐπὶ τῆς τριάδος δοξαζομένην· ἀλλὰ τοῖς οὕτω
φρονοῦσι πᾶσ, ἀναθεματίζομεν· ἡμεῖς
γάρ· μίαν ἀρχὴν τῆς μιᾶς ἐπιγινώσκομεν θεό-
τητος· μίαν βασιλείαν· μίαν ἐξουσίαν· μίαν
δύναμιν· μίαν ἐνέργειαν· μίαν ἀρχήν·
μίαν θέλησιν· μίαν δεσποτείαν· μίαν κυριό-
τητα· τῆς μιᾶς οὐσίας καὶ φύσεως· ἐπὶ δὲ
τοῖς προσώποις ἢ ὑποστάσεσιν· ἢ οὐδαμῶς
εἰς μίαν ὑπόστασιν· ἢ εἰς ἓν πρόσωπον
τὰς τρεῖς ὑποστάσεις καὶ τὰ τρία πρόσωπα
συγχέομεν· διὰ τοῦτο, τέλειος θεός, ὁ πατήρ· τέ-
λειος θεός, ὁ υἱός· τέλειος θεός, τὸ πνεῦμα τὸ ἅγιον·
ἐπειδὴ τὴν αὐτὴν καὶ μίαν ἕκαστον πρόσω-
πον, ἀμέριστον καὶ ἀνελλιπῆ καὶ τελείαν,
ἔχει τὴν θεότητα· καὶ ὡς μὲν θεός, τὸ αὐτὸ
καθ᾽ ἑαυτὸ ἕκαστον· καθ᾽ ἑαυτὸ θεωρούμενον·
τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα· τὸ δὲ
πατὴρ καὶ υἱός· καὶ τὸ ἅγιον πνεῦμα, ὁμόθρονον. καὶ ὁμό-
ὁμόθρονον λέγεται· καὶ πιστευθέν, ταῦτα παρὰ
τοῖς ὁσίοις πατράσιν κηρύττεται· θεός· καὶ θεός,
καὶ θεός· ἀλλ᾽ εἷς τὰ τρία θεός· οὐ γὰρ ἄλλος θεὸς ὁ
πατήρ· οὐδὲ ἄλλος θεὸς ὁ υἱός· οὐδὲ ἄλλος θεὸς πά-
λιν τὸ πνεῦμα τὸ ἅγιον· ἐπεὶ μηδὲ ἄλλη φύσις
ὁ πατήρ· μηδὲ ἄλλη φύσις ὁ υἱός· μηδὲ ἄλλη πάλιν
φύσις, τὸ πνεῦμα τὸ ἅγιον· ἀλλὰ θεὸς μὲν ὁ πατήρ·
θεὸς δὲ ὁ υἱός· ὁμοίως δὲ θεός, καὶ τὸ πνεῦμα τὸ
ἅγιον· ὡς μίαν ἀμερίστως καὶ ἀνελλιπῶς·

ταυτείᾳ προσώπων· πλήρωσις θεότητος·
καὶ ἐν ἑκάστῳ οἰκείως ὅλον τελέως· θεότητος γάρ·
μερισμὸν οὐκ ἐφίσταται ἢ ἐν τοῖς τελείοις προ-
σώποις πληρεστάτη καὶ ἐν τελείως ὑ-
παρχούσαις· ὅτι μὲν οὖν ταὐτοῦ εἶναι θεοῦ,
πατὴρ ὁ πατήρ· καὶ οὔτε υἱός, οὔτε πνεῦμα ἅγιον·
ἀλλ' ὅπερ ὁ υἱὸς κατ' οὐσίαν ἐστίν, καὶ ὁ κατὰ
φύσιν τυγχάνει τὸ πνεῦμα τὸ ἅγιον· καὶ ὅτι μὴ ταὐ-
τοῦ εἶναι θεοῦ, υἱὸς ὁ υἱός· καὶ οὔτε πατὴρ οὔτε
πνεῦμα ἅγιον· ἀλλ' ὅπερ ὁ πατὴρ κατὰ φύσιν
κηρύττεται· καὶ ὁ κατ' οὐσίαν τὸ πνεῦμα καθο-
ρᾶται τὸ ἅγιον· καὶ ὅτι μὲν ταὐτοῦ εἶναι θεοῦ,
πνεῦμα ἅγιον, τὸ πνεῦμα τὸ ἅγιον· καὶ οὔτε πατὴρ
θεωρούμενον, οὔτε υἱὸς ὀνομαζόμενον· ἀλ-
λ' ὅπερ ὁ πατὴρ κατ' οὐσίαν γνωρίζεται· καὶ ὅ-
περ ὁ υἱὸς κατὰ φύσιν, ἀλλάττεται· τελεία
οὖν ἡ τριάς· οὐ τελεία μόνον τῇ τῆς οὐσίας
θεότητος τελειότητι· ἀλλὰ καὶ ὑπερ-
τελής· καὶ ὑπέρθεος δόξῃ καὶ ἀϊδιότητι·
καὶ βασιλείᾳ, μὴ μεριζομένη· μηδὲ ἀπαλλο-
τριουμένη· οὔτε γὰρ κτιστόν τι ἢ δοῦλον ἐν
τῇ τριάδι, οὐδὲ ἐπείσακτον· ὡς
πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον
δὲ ἐπεισελθόν· οὐ τοίνυν ἐνέλειπέ
ποτε υἱός, οὔτε υἱῷ τὸ πνεῦμα τὸ ἅγιον·
ἀλλ' ἄτρεπτος καὶ ἀναλλοίωτος,
ἡ αὐτὴ τριὰς ἀεί· μηδεὶς
οὖν πολυπραγμονείτω, πῶς ὁ πατὴρ ἐ-
γέννησε τὸν υἱόν, ἢ πῶς τὸ πνεῦμα ἅγιον

πηγὰς ἐκπορεύεσθαι· τοῦ πατρός· οὐδὲ αὐταὶ
αἱ ἀγγελικαὶ δυνάμεις γινώσκουσιν· ὥσπερ
οὖν ὁ ἀπόλυτος ... μορφήν, ἐκπέμπει τοῦ θεοῦ·
καὶ ταῦτα μὲν περὶ τῆς ἁγίας καὶ ὁμοουσίου·
καὶ ζωοποιοῦ τριάδος, τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν:—

Περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας τριάδος· Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ· καὶ κυρίου ἡμῶν·

Πιστεύω δὲ· καὶ εἰς τὸν ἕνα τῆς αὐτῆς ἁγίας ἀχράντου τριάδος κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ὡς ὁ πατὴρ· ὁ θεὸς λόγος· ὁ τοῦ πατρὸς μονογενὴς υἱὸς ὁ πρὸ πάντων τῶν αἰώνων καὶ χρόνων· ἀπαθῶς ἐξ αὐτοῦ γεννηθείς, τοῦ θεοῦ καὶ πατρός· οἰκτίρμων καὶ φιλάνθρωπος ἔλεον τὸν ἀνθρώπινον ἡμῶν ὀλισθήματος, ἐκκοινωνῶ βουλήματι· καὶ θεοῦ εὐδοκήσει τοῦ γεννήσαντος· καὶ συνεργίᾳ θείᾳ τοῦ ἁγίου πνεύματος· κόλπων οὐ χωρισθεὶς τοῦ γεννήσαντος, πρὸς τὴν ταπείνωσιν ἡμῶν κατανεύει κέκλικεν· ἔστι γὰρ ὅπερ ἦν·

Ὡς πρὶν τῆς αὐτῆς βουλῆς τῷ πατρὶ καὶ τῷ πνεύματι, οὕτως καὶ οὐσίας ἀπείρου καὶ φύσεως· περιγραφῆς, οὐδαμῶς ἀνεχόμενος τῆς· τῆς καθ' ἡμᾶς τοπικῆς μεταβάσεως καὶ τὰς δὲ εἰδὼς παραπέμπει θεϊκὴν τὴν ἐνέργειαν· καὶ μὴ τραπεὶς διὰ ἀπειρόγαμον τὴν τῆς παρθενίας ἀγλαϊζομένην ἁγνότητα· μακαρίας τῆς ἁγίας· καὶ φαιδρᾶς, καὶ θεόφρονος· καὶ παντὸς μολύσματος ἀπηλλαγμένης τοῦ τε κατὰ σῶμα καὶ ψυχὴν καὶ διάνοιαν·

σαρκοῦται ὁ ἄσαρκος· καὶ μορφοῦται τὸ ἡμέτερον,
ὁ κατ' οὐσίαν τὴν θείαν· ὅσον ἐς σχῆμα καὶ εἶδος,
ἄμορφος· καὶ σωματοῦται καθ' ἡμᾶς, ὁ ἀσώματος·
καὶ ἅπανθ' ὅσα κατὰ ἀλήθειαν γίνεται, ὁ ἀληθῶς θεὸς γενόμενος
γινόμενος· καὶ μητρικῆς κοιλίας ἐγγάστριος, ὁ
τοῦ ἀϊδίου πατρὸς ἀλόχευτος ἀποδείκνυται· οὐ φαν-
τασίᾳ ταῦτα ποιῶν τελούμενα· καθὼς μανιχαίοις
καὶ οὐαλεντίνοις δοκεῖ, τοῖς παραφρόσιν·
ἀλλ' ἀληθείᾳ καὶ πράγματι, ὅλον ἑαυτὸν
κενώσας, πατρικῷ καὶ ἰδίῳ θελήματι καὶ
ὅλον προσλαβὼν τὸ ἡμέτερον φύραμα·
σάρκα φημὶ τὴν ἡμῖν ὁμοούσιον· καὶ ψυχὴν
λογικὴν· τὴν ψυχαῖς ταῖς ἡμετέραις, ὁ-
μόφυλον· καὶ νοῦν τῷ νοῒ τῷ ἡμῶν παρα-
πλήσιον· ταῦτα γὰρ ἄνθρωπος εἶναι· καὶ γνωρίζεται
ἄνθρωπος· κατὰ ἀλήθειαν γενόμενον ὅλα αὐτῆς ἀ-
κρατῆς ἐν παρθένῳ παναγίας συλλή-
ψεως· ἄνθρωπος γὰρ καὶ χρηματίζειν ἠβούλετο·
ἵνα τῷ ὁμοίῳ ἀνακαθάρῃ, τὸ ὅμοιον· καὶ
τῷ συγγενεῖ, τὸ συγγενὲς ἀνασώσηται· σαρ-
κοῦται γοῦν ὁ λόγος καὶ θεὸς τὸ ἡμέτερον· οὐ
προπλασθεῖσαν σάρκα συναπτόμενος· ἢ προ-
μορφωθέντι· καὶ καθ' ἑαυτὸ ὑποστάν-
τι ποτέ, προσπλεκόμενος σώματι· ἢ
πρὸ ὑποστάσεως ψυχῇ συντιθέμενος· ἀλλὰ
τότε τοῦτο σαρκούμενος πρὸς ὕπαρ-
ξιν, ὅτε αὐτῷ ὁ λόγος αὐτὸς καὶ θεὸς,
φυσικῶς ἐν ἑαυτῷ· σύγχρονον ὁμοῦ ταῖς
ταῖς ὑπάρξεσι τὴν ἕνωσιν· καὶ οὐ πρό

τῆς πρὸς τὸν λόγον ἀληθεστάτης σημασίας,
καθ' ἑαυτὸ γενομένῃ αὐτῷ ποτε· ἢ τίμιος
ἂν οὐ τὸν καθ' ἡμᾶς ἑτέρου· τὸ παράπαν,
ὑπάρξαν τὰ ἀλλάσσων δρόμον ἔχοντα τῇ
φυσικῇ σημασίᾳ τὴν ὕπαρξιν· καὶ οὐχ ὡς
ἐν εἴδει τῷ ὀφθαλμοῦ, τοῦ τὴν προπεραιου-
σαν ἔχοντα· ὡς ὁ παῦλος ὁ σαμουσατεὺς
βλασφημεῖ καὶ νεστόριος· ἅμα γὰρ σάρξ·
Ἅμα θ(εο)ῦ λόγου σάρξ· ἅμα σὰρξ ἔμψυχος λογι-
κή· ἅμα θ(εο)ῦ λόγου σὰρξ ἔμψυχος λογική·
ἐκ τῶν οἰκείων ἀχράντων καὶ παρθενικῶν
αἱμάτων τῆς παναγίας ἀχράντου· καὶ παρ-
θένου μαρίας ὁ λόγος σαρκωθεὶς κατὰ ἀ-
λήθειαν, γέγονε κατὰ ἀλήθειαν ἄν(θρωπ)ος·
καὶ ἐν τῇ παρθενικῇ γαστρὶ κυοφορούμενος·
καὶ τὸν χρόνον πεπληρωκὼς τῆς ἐννόμου
κυήσεως· ὡς ἐν πᾶσι τοῖς φυσικοῖς καὶ
ἁμαρτίαν οὐ φέρουσιν· τοῖς ἀν(θρώπ)οις ἡμῖν ὁμοι-
ούμενος, καὶ τὴν ἡμετέραν οὐκ ἀπαξιῶν,
ἐν παθητῇ τὴν εὐτέλειαν· τίκτεται θ(εὸ)ς,
ἀνθρωπείῳ τῷ σώματι· ὡς αὐτὸς δὲ
καὶ τῷ σχήματι· ψυχὴν λογικὴν καὶ ἀσώματο(ν)
ἔχοντι· ὁ τῷ βρ αὐτὸς ἐν ἑαυτῷ χωρῶν
ἐνετύπωσε τινί· καὶ παρθένον τηρεῖ τὴν
γεννήσασαν· καὶ θεοτόκον αὐτὴν κυρίως καὶ ἀ-
ληθῶς, ἀναδείκνυσιν· θ(εὸ)ς γὰρ ἦν
ὁ ἐκ παρθένου τῆς ἁγίας θεοτόκου μαρίας τικτόμενος·
καὶ δευτέραν δι' ἡμᾶς καὶ χρονικὴν πρὸς
δεχόμενος γέννησιν· μετὰ τὴν προαιώνιον αὐτοῦ

καὶ ἄλλον τὴν ἐκ πατρὸς φυσικὴν καὶ ἀνέκ-
φραστον γέννησιν· κἂν τε σαρκωθεὶς ὡς ἐπί-
κτητον διὰ τὴν πρὸς ἡμᾶς τοῦ σαρκικοῦ
ὁμοιότητα· ὅλος θεὸς ἀνθρωπούμενος·
ὅλος ὁ αὐτὸς προσφαινόμενος ἄνθρωπος·
τέλειος θεὸς ὁ αὐτὸς γνωριζόμενος· καὶ τέ-
λειος ἄνθρωπος ὁ αὐτὸς γνωριζόμενος· ἐκ δύο τῶν
φύσεων ἔχει τὴν ἕνωσιν, θεότητός καὶ
ἀνθρωπότητος· καὶ ἐν δυσὶ τελείαις
ἐγνωρίζετό τε καὶ ὑπῆρχεν· ὥσπερ οὖν
καὶ ἐν ταῖς φύσεσι θεότητός τε καὶ ἀνθρω-
πότητος· καὶ δυσὶ φυσικοῖς θελήμασι·
ὡσαύτως δὲ καὶ δυσὶ φυσικαῖς ἐνεργείαις·
οὔτε γὰρ τῇ ἑνώσει τῶν φύσεων τροπὴν
ἢ φυρμὸν ἐμάθομεν πιστεύειν· οὔτε τῇ διαφορᾷ
καὶ διαστάσει τῶν μορφῶν ἤτοι τῶν οὐσιῶν ἡμε-
τέραν ἕνωσιν διαιροῦσιν ἢ τομήν· εἰς ἑ-
κάτερον καὶ τοῦ τομήν, τὸ μὴ διαιρεῖ-
σθαι μὲν τὸν μὲν ἀμέριστον· ἐκεῖ-
νο δὲ τὸ μὴ συγχέεσθαι· τῇ κείευ τυχὴ τὸν
κακοφρονοῦν· καὶ εἰς θεὸν ἐν ἀρχῇ καὶ
Τὸν σαρκωθέντα λόγον ἡ πρεσβευομένη· καὶ
μίαν αὐτοῦ τὴν ὑπόστασιν λέγομεν· συν-
θέτην· καὶ ἐν δυσὶν αὐτὸν ὁμολογοῦμεν ταῖς
φύσεσι θελήμασί τε καὶ ἐνεργείαις· καὶ
διὰ τοῦ αὐτοῦ λόγου γεννήσεις, τὰς δύο
μέν· μίαν μὲν τὴν ἐκ θεοῦ πατρός, καὶ ἄχρο-
νον καὶ ἄλλην [illegible]· καὶ δευτέραν
τὴν ἐκ τῆς θεοτόκου μητρός· καὶ πρόσφατον·

καὶ χερουβικὴν ἐπιστάμεθα· καὶ τὰ τούτων
φυσικὰ σώζεσθαι φάσκομεν ἰδιώματα· τοῦ-
τ' ἔστιν δύο φύσεις καὶ θελήματα· καὶ δύο φυσι-
κὰς ἐνεργείας· καὶ ὁμοούσιον, ὡς θεὸν τῷ
πατρὶ τὸν αὐτὸν ἀναφαίνεσθαι· καὶ ὁμοούσιον
τῇ μητρὶ καὶ ἡμῖν, τὸν αὐτὸν ὡς ἄνθρωπον φάσκο-
μεν· ὁρατὸν τὸν αὐτόν, καὶ ἀόρατον·
κτιστὸν τὸν αὐτὸν ὡς αὐτὸς καὶ ἄκτιστον·
σωματικὸν τὸν αὐτόν· καὶ ἀσώματον· ἁ-
πτὸν τὸν αὐτόν, καὶ ἀνέπαφον· πε-
ριγραπτὸν τὸν αὐτὸν καὶ ἀπερίγραπτον·
ἐπίγειον τὸν αὐτόν· καὶ οὐράνιον· ἀθεκα-
τὸν αὐτὸν ἐμπεριεχόμενον κόσμῳ· καὶ ἀδιό-
ριστον· πρόσφατον τὸν αὐτὸν καὶ ἀΐδιον·
σταυρωμένον τὸν αὐτόν, καὶ ὑπέρτατον·
καὶ ὁ σωτὴρ ἀμφότερος· ἐν ἑκατέρᾳ τῇ
φύσει· καὶ ταῦτα ἁπλῶς ὑπάρχειν
ἀεὶ ὡς φύσιν ἔχων ἀΐδιον· τὰ δὲ τῆς
σαρκὸς δι' ἡμᾶς ἐν χρόνοις ἐσχάτοις
ἀτρέπτως γενέσθαι· ὡς φύσιν προσ-
λαβὼν τὴν ἀνθρωπίνην· καὶ εἷς μέν ἐστι
καὶ δύο· ὁ αὐτὸς γνωριζόμενος· εἷς μὲν
κατὰ τὴν ὑπόστασιν καὶ τὸ πρόσωπον·
δύο δὲ κατὰ τὰς φύσεις αὐτοῦ· καὶ τὰς
φυσικὰς αὐτῶν ἰδιότητας· λέγω δὲ
θελήματα καὶ ἐνεργείας· ἐνεργού-
σης ἑκατέρας μορφῆς, μετὰ τῆς θατέρου
κοινωνίας· ὅπερ ἴδιον ἔσχηκε· τοῦ
μὲν λόγου κατεργαζομένου τοῦτο, ὅπερ

ἐστὶ τοῦ λόγου μετὰ τῆς κοινωνίας τοῦ σώ-
ματος· τοῦ δὲ σώματος, ἐκτελοῦντος ἀν-
θρώπινα· τοῦ σώματος κοινωνοῦντος αὐ-
τῷ τοῦ λόγου τῆς πράξεως. καὶ τὸ μὲν αὐ-
τῶν, διαλάμπει τοῖς θαύμασι· τὸ δὲ, ταῖς
ὕβρεσιν ὑποπέπτωκεν. ὅθεν ἀκολού-
θως καθὸ δύο φύσεις ἐκ τοιούτων· τοῦ-
τέστι, θεότητα καὶ ἀνθρωπότητα·
ἀσυγχύτως ἀδιαιρέτως ἀτρέπτως
αὐτὸν ἔχειν, ἀληθῶς ὁμολογοῦμεν. οὕ-
τως ὁμοίως καὶ δύο φυσικὰ θελήματα·
καὶ δύο φυσικὰς ἐνεργείας ἔχειν αὐτὸν λέ-
γομεν· τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον. ἕνα καὶ
τὸν αὐτὸν τοῦτον, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃ τῆς εὐσε-
βείας καταρτίζει κανών. καὶ ὡς μὲν θεὸς,
ἐπὶ τῆς θαλάσσης ἐβάδιζεν. καὶ τοῖς
ἀνέμοις ἠρεμεῖν παρεκελεύετο. καὶ
ἐκ πέντε ἄρτων, χιλιάδας εἰς κόρον
ἔτρεφε. καὶ νεκροὺς ἀνίστα. καὶ πᾶ-
σαν νόσον ἀπήλαυνε. καὶ δαίμονας ἐ-
δραπέτευεν. ὡς δὲ ἄνθρωπος ἐπείνα.
καὶ ἐδίψα. ἐκοπίασε καὶ ἤλγει, τυπτό-
μενος. ἔπαθε καὶ σταυρὸν ἑκουσίως ὑπο-
μείνας. ὡς θεὸς ἀνέστη τριήμερος, ἐν ἀ-
φθάρτῳ τῷ σώματι. καὶ τοῖς μαθηταῖς
ἐμφανίζεται. καὶ εἰς οὐρανοὺς ἀνέρχεται,
μεθ' ἧς προσείληφεν, σαρκός. καὶ ἐκ
δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς καθέζεται. ὅθεν
καὶ πάλιν ἐλεύσεται, κρῖναι ζῶντας καὶ

νεκρῶν ποιησόμενον· ἀποδιδοὺς ἑκάστῳ
κατὰ τὰ ἔργα αὐτοῦ· ἀτελεύτητον ἀρχὴν
τε καὶ βασιλείαν· καὶ τὸ κράτος τῆς θεϊκῆς
ἐξουσίας ἀποφαινόμενοι· ἔτι τε ὁμο-
λογοῦν καὶ σαρκὸς ἀνάστασιν· τῆς ἐν φθορᾷ μὲν
σπαρείσης· ἀφθάρτου δὲ ἐγειρομένης· καὶ
ταύτης ἀληθείας ἅπαντα, ἀποτιθε-
μένης ἀρρωστήματα· ἀτελεύτητον
τε τῶν δικαίων βασιλείαν· καὶ διαιωνίζου-
σαν τῶν ἁμαρτωλῶν, κόλασιν· ὅπερ
φοβεῖσθαι ἡμᾶς· καὶ φρίττειν πείθει
ὠφελίμη τοῦ τολμῶντος, καὶ μόνη
ὀρθὴ ἐπιδείκνυσθαι· μόνη γὰρ πίστις
ὀρθὴ, σώζειν ἡμᾶς οὐ δύναται, παραζε-
ομένη ἀγαθῶν ἔρημος τυγχάνουσα· τοὺς
δὲ μὴ οὕτως φρονοῦντας ὡς προγέγρα-
πται, βδελύσσομαί τε, καὶ ἀποστρέφομαι,
ὡς ἀλλοτρίους τῆς ὀρθοδόξου τῶν χριστιανῶν
ὑπάρχοντας πίστεως. ταῦτα τὰ
προγεγραμμένα, μὴ ἁπλῶς καὶ ὡς ἔτυχεν
ἀναγινωσκέσθωσαν· ἀλλὰ μετὰ πόθου
καὶ φόβου, καὶ πάσης εὐλαβείας· μήτε
δὲ παρ' ἄλλων ἀποκρυπτέσθωσαν· ἀλλὰ
πᾶσι γνωριζέσθωσαν· ἱερεῦσί τε καὶ
κληρικοῖς, μοναχοῖς τε καὶ πιστοῖς λαϊ-
κοῖς· καὶ ὑπὸ τῶν πιστευόντων ἀνε-
πιφθόνως μεταγραφέσθωσαν, ἀνε-
λλιπῶς ἀπαντῶνται· καὶ μηδεὶς ἀμοι-
ρείτω τούτων χριστιανὸς εἰ μὴ τῆς

ἀιωνίας· τιμωρίαν ἐκπέσῃ· ἐν τῇ φοβερᾷ ἡμέ-
ρᾳ τῆς κρίσεως. ἐν ᾗ μέλλομεν γυμνοὶ
καὶ τετραχηλισμένοι παρίστασθαι· καὶ ἐκ
τῶν ἰδίων πράξεων ἢ κατακριθῆναι·
ἢ βασιλείαν κληρονομεῖν ἀτελεύτητον·
ἧς δεόμεθα τοῦ θ(εο)ῦ ἡμῶν καταξιῶσαι διὰ
πρεσβειῶν τῶν ἁγίων αὐτοῦ ἐν τῷ λόγῳ κληρώ-
σεως· τὸν [illegible] γεγραμμένα ἐν τῇδε
τῇ βίβλῳ [illegible] · ἀναγνῶσι
τοῖς ἐν πᾶσι χριστιανοῖς, ἀμήν:—

## Τοῦ ἁγίου Μαξίμου· περὶ τῶν τεσσάρων ἀπαθειῶν·

Πρώτη ἐστὶν ἀπάθεια· ἡ παντελὴς ἀποχὴ
τῶν κατ' ἐνέργειαν κακῶν· ἐν τοῖς εἰσα-
γομένοις θεωρουμένη:—

Δευτέρα ἐστὶν ἀπάθεια· ἡ παντελὴς κατὰ
διάνοιαν περὶ τῶν κακῶν συγκατά-
θεσιν ἀποβολὴ λογισμῶν· ἐν τοῖς μετὰ
λόγου τὴν ἀρετὴν μετιοῦσι γινομένη:—

Τρίτη δέ ἐστιν ἡ κατ' ἐπιθυμίαν περὶ τὰ πάθη
παντελὴς ἀκινησία· ἐν τοῖς διὰ τῶν
σχημάτων τοὺς λόγους νοοῦσι τῶν θεω-
ρουμένοις, τῶν ὁρωμένων:—

Τετάρτη ἀπάθεια· ἡ καὶ αὐτῆς τῆς ψιλῆς
τῶν παθῶν φαντασίας παντελὴς
καθαρότης· ἐν τοῖς διὰ γνώσεως καὶ θεω-
ρίας καθαρὸν καὶ διειδὲς ἔσοπτρον τοῦ
θ(εο)ῦ ποιησαμένοις τὸ ἡγεμονικόν, ἐσφρα-
γισμένην· ὁ τοίνυν καθάρας ἑαυτὸν ἐμβρ-
νείας παθῶν· καὶ τῆς [illegible] κατὰ διά-